## ΜΑΙΚΙΟΥ.

Νάων Ἱεροκλείδης εἶχεν σύγγηρον, ὁμόπλουν,
　Τὴν αὐτὴν ζωῆς καὶ θανάτου σύνοδον,
Πιστὴν ἰχθυβολεῦντι συνέμπορον. οὔτις ἐκείνης
　Πώποτ' ἐπέπλωσεν κῦμα δικαιοτέρη.
Γήραος ἄχρις ἔβοσκε πονεύμενον, εἶτα θανόντα
　Εκτέρισεν· συνέπλω δ' ἄχρι καὶ ἐς ἀΐδην.

## ΑΝΤΙΠΑΤΡΟΥ.

Πύῤῥος ὁ μουνερέτης, ὀλίγῃ νηῒ λεπτὰ ματεύων
　Φυκία, καὶ τριχίνης μαινίδας ἐκ καθέτου,
Ηϊόνων ἀπὸ τῆλε τυπεὶς, κατέδουπε κεραυνῷ.
　Νηῦς δὲ πρὸς αἰγιαλοὺς ἔδραμεν αὐτομάτη,
Αγγελίην θείῳ καὶ λιγνύϊ μηνύουσα,
　Καὶ φράσεν, ἐργώνην δ' οὐκ ἐπόθησε τρόπιν.

## Αδηλον.

Η ναῦς ἀπ' ἔργων κύπριδος γομφουμένη,
Πρὸς τὸν γενάρχην πόντον ἤλυθον θεοῦ.
Ανὴρ γὰρ ὥρης μ' ἔμπορος τεκτήνατο,
Καλέσας ἑταίρην. εἰμὶ γὰρ πᾶσιν φίλη.
Εμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
Ελθόντα δέχομαι πάντα βαστάζω ξένον.
Ως ποτ' ἐπὶ γαίης, κὴν βυθῷ μ' ἐρέσσετε.

---

## ΕΙΣ ΝΗΣΟΥΣ, κεφ. νη.

### ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ, ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
　Η λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.

Οὐκ